eul_wid: dkc-ab

*Καλλίας ὁ κωμικός* · Callias the Comic Poet

# Fragments on Daily Life

*Ἀποσπάσματα περὶ Βίου Καθημερινοῦ*

**Period:** *Κλασική* Classical
**Dialect:** *Ἀττική* Attic (com, frg)
**Domain:** *Κωμῳδία* Comedy
**Format:** *Ἔμμετρος* Verse

book 1 Κέρδος αἰσχύνης ἄμεινον· ἕλκε μοιχὸν ἐς μυχόν.
book 1.1 Κίθαρος ὀπτὸς καὶ βατὶς θύννου
book 1.2 τε κεφάλαιον
book 1.3 τοδί, ἐγχέλεια, κάραβοι, λινεύς, ἀχαρνὼς οὑτοσί.
book 2 Τί γὰρ ἡ τρυφερὰ καὶ καλλιτράπεζος Ἰωνία εἴφ’ ὅ τι[ln_1]πράσσει.
book 3.1 Καὶ δέξαι
book 3.2 τηνδὶ μετανιπτρίδα τῆς Ὑγιείας.
book 4.1 Φυλλὰς ἡ δείπνων κατάλυσις ἥδε καθάπερ
book 4.2 σχημάτων.
book 1.1 [spk_α]Α. Πῶς ἆρα
book 1.2 τοὺς Μελανθίους τῷ γνώσομαι;
book 1 [spk_β]Β. οὓς ἂν μάλιστα λευκοπρώκτους εἰσίδῃς.
book 2 [spk_α]Α. Τί δὴ σὺ σεμνοῖ καὶ φρονεῖς οὕτω μέγα;
book 2 [spk_β]Β. ἔξεστι γάρ μοι. Σωκράτης γὰρ αἴτιος.
book 1.1 Μετὰ μαινομένων
book 1.2 φασὶν
book 1.3 χρῆναι μαίνεσθαι πάντας ὁμοίως.
book 2 Ἔτνος, πῦρ, γογγυλίδες, ῥάφανοι, δρυπεπεῖς, ἐλατῆρες.
book 3 Τραυλὴ μέν ἐστιν, ἀλλ’ ἀνεστομωμένη.